UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Apanta Ta Ellēnisti Heuriskomena

Cui idem præfixit Origeniana, Tripartitum opus, quo Origenis narratur vita, doctrina excutitur, scripta recensentur

Origenes

Rothomagi, 1668

E Secvndo Tomo In Evangelivm Matthaei.

urn:nbn:de:hbz:466:1-25059

Visual Library

E SECVNDO TOMO IN EVANGELIVM MATTHÆI, ad illud: Beati pacifici.

Matth. 5. 9.

ΕΚ ΤΟΥ Ϛ. ΤΟΜΟΥ τῶν εἰς τὸ κατὰ Ματθαῖον. Εἰς τό· Μακάριοι οἱ εἰρηνοποιοί·

Interprete IOANNE TARINO.

A HVic verò vtraque ratione pacifico, nihil eſt in divinis literis parvum neque diſtortum: omnia enim intelligentibus ob oculos verſantur; & quia nihil eſt hujuſmodi viro obliquum aut tortuoſum, propterea abundantiam pacis videt in Scripturis, etiam quæ videntur inter ſe pugnantes & contrariæ. Eſt autem & tertius pacificus, qui quam alij putant pugnam Scripturarum pugnam non eſſe oſtendit, & harum conſenſum pacémque exhibet, veterum videlicet cum novis, Legalium cum Propheticis, Evangelicarum cum Apoſtolicis, & Evan- B gelicarum cum Evangelicis. Si enim omnes Scripturæ ſecundum Eccleſiaſten ſunt *ſermones ſapientum, vt ſtimuli & clavi defixi, qui de compacto dati ſunt ab vno paſtore*, & nihil ſuperfluum ex ipſis. Vnus autem paſtor eorum, quæ rationi congruunt, Verbum eſt, quæ diſcrepantiam habere videntur ijs qui aures non habent ad audiendum, re autem maximè conſentiunt. Vt enim pſalterij vel citharæ fides, quarum vnaquæque proprium ſonum, & qui alterius ſono ſimilis eſſe non videtur, abſolvit, videntur inerudito & Muſici concentus minimè perito, propter diſ- C ſimilitudinem ſonorum diſcrepantes: ſic qui audire neſciunt divinum in ſacris ſcripturis concentum, non bene convenire Novo Teſtamento cum Veteri, aut Legi cum Prophetis nec Evangelia ſibi mutuò conſentire, aut Apoſtolum Evangelio, vel ſibi ipſi, vel Apoſtolis putant. Sed ſi quis acceſſerit divinâ Muſicâ eruditus, & re & ſermone ſapiens, ideóque quidam alius David, qui exponitur aptus & idoneus manu, abſolvet ſonum Muſicæ Dei, cùm ab ea didicerit opportunè pulſare fides modò Legis, D modò quæ illis concinunt Evangelicas, interdum propheticas, aliquando, cùm id ratio expoſcit, quæ ipſis accinunt Apoſtolicas, ita & Apoſtolicis Evangelicas concinentes. Vnum enim eſſe novit perfectum & aptum inſtrumentum Dei Scripturam vni-

Eccleſ. 12.

A Τούτῳ δὲ τῷ ἑκατέρως εἰρηνοποιῷ, οὐδὲν ἐν τοῖς θείοις λογίοις ἔτι ἐστὶ σκολιὸν οὐδὲ στραγγαλιῶδες. πάντα γὰρ ἐνώπια τοῖς νοοῦσι. καὶ ἐπεὶ μηδὲν ἐστὶ τοιούτῳ σκολιὸν μηδὲ στραγγαλιῶδες, διὰ τοῦτο πλῆθος εἰρήνης βλέπει ἐν ὅλαις ταῖς γραφαῖς, καὶ ταῖς δοκούσαις περιέχειν μάχην καὶ ἐναντιώματα πρὸς ἀλλήλας· γίνεται δὲ καὶ τρίτος εἰρηνοποιὸς, ὁ τὴν ἄλλοις φαινομένην μάχην τῶν γραφῶν ἀποδεικνὺς εἶναι οὐ μάχην, καὶ παριστὰς τὴν συμφω- B νίαν καὶ τὴν εἰρήνην τούτων, ἤτοι παλαιῶν πρὸς καινάς, ἢ νομικῶν πρὸς προφητικάς, ἢ εὐαγγελικῶν πρὸς ἀποστολικάς, ἢ ἀποστολικῶν πρὸς ἀποστολικάς. καὶ γὰρ πᾶσαί εἰσι κατὰ τὸν ἐκκλησιαστὴν αἱ γραφαί, λόγοι σοφῶν ὡς βούκεντρα, καὶ ὡς ἧλοι πεφυτευμένοι, οἳ παρὰ τῶν* συνθεμάτων ἐδόθησαν ἐκ ποιμένος ἑνός, καὶ οὐδὲν περισσὸν ἐξ αὐτῶν· εἷς δὲ ποιμὴν τῶν λογικῶν ὁ λόγος, δόξας μὲν ἔχοντων διαφωνίας τοῖς μὴ ἔχουσιν ὦτα εἰς τὸ ἀκούειν, τὸ δὲ ἀληθὲς C συμφωνότατα· ὡς γὰρ αἱ διάφοροι τοῦ ψαλτηρίου ἢ τῆς κιθάρας χορδαί, ὧν ἑκάστη ἴδιόν τινα φθόγγον καὶ δοκοῦντα μὴ ὅμοιον εἶναι τῷ τῆς ἑτέρας ἀποτελεῖ, νομίζονται τῷ ἀμούσῳ καὶ μὴ ἐπισταμένῳ λόγον μουσικῆς συμφωνίας διὰ τὴν ἀνομοιότητα τῶν φθόγγων ἀσύμφωνοι τυγχάνειν. οὕτως οἱ μὴ ἐπιστάμενοι ἀκούειν τῆς τοῦ θεοῦ ἐν ταῖς ἱεραῖς γραφαῖς ἁρμονίας, οἴονται ἀνάρμοστον εἶναι τῇ καινῇ τὴν παλαιάν, ἢ τῷ νόμῳ τοὺς προφήτας, ἢ τὰ εὐαγγέλια ἀλλήλοις, D ἢ τὸν ἀπόστολον τῷ εὐαγγελίῳ, ἢ ἑαυτῷ, ἢ τοῖς ἀποστόλοις, ἀλλ᾽ ἐλθὼν ὁ πεπαιδευμένος τὴν τοῦ θεοῦ μουσικήν, σοφός τις ἐν ἔργοις καὶ λόγοις τυγχάνων, καὶ διὰ τοῦτο χρηματίζων ἂν Δαβίδ, ὃς ἑρμηνεύεται, ἱκανὸς χειρί, ἀποτελέσει φθόγγον μουσικῆς θεοῦ, ἀπὸ ταύτης μαθὼν ἐν καιρῷ κρούειν χορδάς, νῦν μὲν νομικάς, νῦν δὲ συμφώνους αὐταῖς εὐαγγελικάς. καὶ νῦν μὲν προφητικάς, ὅτε δὲ εὔλογον ἀπαιτεῖ, τὰς ὁμοτόνους αὐταῖς ἀποστολικάς, οὕτω δὲ καὶ ἀποστολικὰς εὐαγγελικαῖς. ἓν γὰρ τὸ τέλειον οἶδε καὶ

* ἢ καὶ [illegible]

ἡρμοσμένον ὄργανον τοῦ θεοῦ εἶναι πᾶσαν τὴν A γραφὴν, μίαν ἀποτελοῦν ἐκ διαφόρων φθόγγων σωτήριον τοῖς μανθάνειν ἐθέλουσι φωνὴν, καταπαύουσαν καὶ κωλύουσαν ἐνέργειαν πᾶσαν πονηροῦ πνεύματος, ὡς κατέπαυσεν ἡ Δαβὶδ μουσικὴ τὸ ἐν τῷ Σαοὺλ πονηρὸν πνεῦμα καὶ πνῖγον αὐτόν· ὁρᾷς οὖν καὶ τρίτως εἰρηνοποιὸν τὸν ἑπομένως τῇ γραφῇ βλέποντα τὴν εἰρήνην πάσης αὐτῆς, καὶ ἐμποιοῦντα ταύτην τοῖς ὀρθῶς ζητοῦσι, καὶ γνησίως φιλονεικοῦσιν.

verſam, quæ vnam abſolvit ex diverſis ſonis, ijs qui diſcere volunt, ſalutarem vocem, vim omnem mali ſpiritus ſedantem & cohibentem; quemadmodum compeſcebat Davidis Muſica ſpiritum malum qui invaſerat Saul, & ipſum ſuffocabat. Vides igitur tertio etiam modo pacificum, qui congruenter Scripturæ hujus vniverſæ pacem & concordiam videt, eámque rectè quærentibus & ingenuè diſceptantibus conciliat.

ΩΡΙΓΕΝΟΥΣ
ΤΩΝ ΕΙΣ ΤΟ
ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ
* κ. ια. ΤΟΜΟΣ * ι'.

ORIGENIS
COMMENTARIORVM
IN EVANGELIVM SECVNDVM MATTHÆVM
TOMVS VNDECIMVS.

Interprete PETRO DANIELE HVETIO.

ΤΟ'τε ἀφεὶς ὄχλους, ἦλθεν εἰς τὴν οἰκίαν B αὐτοῦ, καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. Φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ. ὅτε μὲν μετὰ τῶν ὄχλων ἐστὶν ὁ Ἰησοῦς, οὐκ ἔστιν αὐτοῦ ἐν τῇ οἰκίᾳ, ἔξω γὰρ τῆς οἰκίας οἱ ὄχλοι· καὶ τῆς φιλανθρωπίας αὐτοῦ ἔργον ἐστὶ, καταλιπεῖν τὴν οἰκίαν, καὶ ἀπελθεῖν πρὸς τοὺς μὴ δυναμένους ἥκειν πρὸς αὐτόν· αὐτάρκως δὲ τοῖς ὄχλοις διαλεχθεὶς ἐν παραβολαῖς, ἀφίησιν αὐτοὺς καὶ ἔρχεται εἰς τὴν ἑαυτοῦ οἰκίαν, ἔνθα προσέρχονται αὐτῷ οἱ μαθηταὶ C αὐτοῦ, οὐκ ἀπομείναντες μετὰ τῶν ἀφεθέντων ὑπ' αὐτοῦ· καὶ ὅσοι γε γνησιώτερον ἀκούουσι τοῦ Ἰησοῦ, πρῶτον ἀκολουθοῦσιν αὐτῷ, εἶτα πυθανόμενοι περὶ τῆς μονῆς αὐτοῦ, ἐπιτρέπονται ἰδεῖν αὐτὴν, καὶ ἥκοντες ὁρῶσι, καὶ παρ' αὐτῷ μένουσι, πάντες μὲν τὴν ἡμέραν ἐκείνην, τάχα δέ τινες αὐτῶν καὶ ἐπὶ πλεῖον· καὶ τοιαῦτά γε οἶμαι δεδηλῶσθαι ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ διὰ τούτων· Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο· ἔτι εἰς παράστασιν D τοῦ, ὅτι τῶν ἐπιτραπέντων σὺν τῷ Ἰησοῦ πορεύεσθαι καὶ ἰδεῖν αὐτοῦ τὴν οἰκίαν ὁ διαφέρων καὶ ἀπόστολος γίνεται, ἐπιφέρεται τούτοις. Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων ὑπὸ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ· καὶ ἡμεῖς οὖν εἴπερ βουλόμεθα μὴ ὡς ὄχλοι ἀκούειν τοῦ Ἰησοῦ, οὓς ἀφίησι, καὶ * ἔρχεσθαι εἰς τὴν οἰκίαν, ἐξαίρετόν τι παρα-

* ἴσ. ἐξ- χεσθαι

T*Vnc dimiſſis turbis, venit in domum ſuam, & acceſſerunt diſcipuli ejus, dicentes: Ediſſere nobis parabolam zizaniorum agri.* Quando verſatur Ieſus cum turbis, non eſt in ſuâ domo; quippe extra domum turbæ ſunt: atque ipſius quidem humanitatis partes illæ ſunt, domum deſerere, ad eoſque, qui ad ſe venire non poſſunt, abire. Cum autem turbas jam ſatis fuerit per parabolas allocutus, dimiſſis illis domum ſuam venit: hic illum conveniunt Diſcipuli ipſius, qui cum his non remanſerunt, quos ille dimiſerat. Et verò quicunque Ieſum mente puriori audiunt, primùm ſequuntur illum, deinde poſtquam de domo illius percontati ſunt, eum videndi facultatem obtinent: & vident ſane, poſtquam venerunt, & apud illum manent; omnes quidem diem hunc, nonnulli etiam illorum fortaſſe diutius. Hæc, opinor, his verbis ſignificata ſunt in Euangelio Ioannis: *Altera die iterum ſtabat Ioannes & ex Diſcipulis ejus duo.* Præterea, vt appareat, eorum, quibus cum Ieſu eundi, domumque ipſius videndi copia facta fuerat, præſtantiorem fieri Apoſtolum, hæc ſubjiciuntur: *Erat autem Andreas frater Simonis Petri vnus ex duobus qui audierant à Iohanne & ſecuti fuerant eum.* Nos igitur, ſi volumus Ieſum, non more turbarum quas dimittit audire, & illius vſque domum veni-

Matth. 13. 36.

Ioh. 1. 35.

Ioh. 1. 40.